δὲ προνοίας τὸ σμικρολόγον, ἐπαινοῦντα δὲ Πλάτωνος καὶ Πλωτίνου καὶ τῶν ἄλλων, ὅσοι τούτων εἰσὶν ὁμογνώμονες, τὰ περὶ τῆς προνοίας διδάγματα· καὶ φυσικοῖς δὲ λογισμοῖς ἐπιδείκνυσι ταύτην ἐν τῇ κτίσει θεωρουμένην καὶ ἐν ἑκάστῳ τῶν θεόθεν γινομένων προφαινομένην.

Ἐπειδὴ δὲ καὶ τῶν θυσιῶν ἔδει δεῖξαι τὸ περιττόν, ἡ 10
ἑβδόμη διάλεξις τοῦτον περιέχει τὸν λόγον, φιλοσόφοις μὲν λόγοις τῶν θυσιῶν τῶν Ἑλληνικῶν κατηγοροῦσα, προφητικοῖς δὲ τὸ νηπιῶδες τῆς Ἰουδαίων νομοθεσίας ἐπιδεικνῦσα.

Τὴν δὲ κατὰ τῶν τοὺς νικηφόρους μάρτυρας γεραιρόν- 11
των κατηγορίαν, καὶ μέντοι καὶ τὴν ἀπολογίαν, ἡ ὀγδόη περιέχει, ταῖς τῶν φιλοσόφων καὶ ξυγγραφέων, καὶ μέντοι καὶ ποιητῶν μαρτυρίαις χρωμένη καὶ ἐπιδεικνῦσα, ὡς Ἕλληνες οὐ μόνον χοαῖς, ἀλλὰ καὶ θυσίαις τοὺς τεθνεῶτας ἐτίμων, τοὺς μὲν θεούς, τοὺς δὲ ἡμιθέους, τοὺς δὲ ἥρωας ὀνομάζοντες, καὶ τούτων τοὺς πλείστους ἀκολασίᾳ ξυνεζηκότας.

Προὔργου δὲ ᾠήθην καὶ τοῖς παρ' Ἕλλησιν ὀνομαστο- 12
τάτοις γεγενημένοις νομοθέταις τοὺς ἡμετέρους παρεξετάσαι, τοὺς ἁλιέας λέγω καὶ τὸν σκυτοτόμον καὶ τοὺς τελώνας, καὶ δεῖξαι πάλιν ἐκ ξυγκρίσεως τὸ διάφορον, καὶ ὡς ἐκεῖνοι μὲν οἱ νόμοι μετὰ τῶν τεθεικότων τῷ τῆς λήθης παρεδόθησαν ζόφῳ, οἱ δὲ τῶν ἁλιέων ἀνθοῦσιν οὐ μόνον παρ' Ἕλλησι καὶ Ῥωμαίοις, ἀλλὰ καὶ παρὰ Σκύθαις καὶ Σαυρομάταις καὶ Πέρσαις καὶ τοῖς ἄλλοις βαρβάροις. ταύτην δὲ τὴν παρεξέ-
τασιν ἡ ἐνάτη περιέχει | διάλεξις. p. 3

Ἡ δὲ δεκάτη διδάσκει, ὁποῖα μὲν οἱ θεῖοι χρησμοὶ 13
προηγόρευσαν, καὶ ὡς Θεῷ πρέποντα καὶ τοῖς εὖ φρονοῦσι τῶν ἀνθρώπων ἁρμόττοντα, τίνα δὲ ὁ Πύθιος καὶ ὁ Δωδωναῖος καὶ οἱ ἄλλοι τῶν Ἑλλήνων ψευδομάντεις προειπόντες